# TEZAUR LITURGIC

## 19 APRILIE

# SLUJBA
## SF.CUVIOS-MUCENIC
# AGATANGHEL ESFIGMENITUL
## DE LA SMIRNA

ATENA,2020


ΑΠΟϹΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗϹ ΕΚΚΛΗϹΙΑϹ ΤΗϹ ΕΛΛΑΔΟϹ

# 19 ΑΠΡΙΛΙΟΣ
# ΑΓΑΘΑΓΓΕΛΟΣ ΝΕΟΣ ΟΣΙΟΜΑΡΤΥΣ ΕΣΦΙΓΜΕΝΙΤΗΣ
# ΑΚΟΛΟΥΘΙΑ

## ΜΙΚΡΟΣ ΕΣΠΕΡΙΝΟΣ

Ἱστῶμεν στίχους δ’ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια. Ἦχος α΄. Πανεύφημοι Μάρτυρες.

Μάρτυς Ἀγαθάγγελε Χριστοῦ, σῆς Μονῆς τὸ καύχημα, τῆς Ἐσφιγμένου ἐνήθλησας, ὑπὲρ τῆς πίστεως, ἀνδρικῶς τῆς θείας, καὶ τὰ τούτου στίγματα, καὶ πάθη τὰ σεπτὰ καὶ τὸν θάνατον, ἐν τῇ σαρκὶ λαβών, συνανέστης καὶ δεδόξασαι, βασιλεύων, εἰς ζωὴν αἰώνιον.

Ὡς λαμπρὸς καὶ θεῖος ἀριστεύς, Μάρτυς Ἀγαθάγγελε, ὡς Ἀθλητὴς γενναιότατος, ἀγωνισάμενος, ἀσεβῶν καθεῖλες, τὴν ὀφρὺν πανθαύμαστε, καὶ στέφει οὐρανίῳ κατέστεψαι· διὸ τιμῶμέν σε, καὶ τὴν μνήμην ἐκτελοῦμέν σου, ἐτησίως, πόθῳ τὴν σεβάσμιον.

Ὕμνοις ἐτησίοις καὶ ᾠδαῖς, Μάρτυς Ἀγαθάγγελε, ᾀσμάτων θείων γηθόμενοι, ἀνευφημοῦμέν σου, τοὺς σεπτοὺς ἀγῶνας, οὓς στεῤῥῶς ὑπήνεγκας, ὑπὲρ τῆς μαρτυρίας τῆς πίστεως· διὸ ἱκέτευε, δωρηθῆναι τῇ Μονῇ ἡμῶν, εἰρηναίαν, στάσιν καὶ ἀκύμαντον.

Μάρτυς Ἀγαθάγγελε τρυφῆς, καὶ ἀγαλλιάσεως, ἀγγελικῆς κατηξίωσαι, ἀπαρνησάμενος, τὰ τερπνὰ τοῦ βίου, καὶ ψυχῆς στεῤῥότητι, τὰ πάντα εἰς οὐδὲν

λογισάμενος, καὶ τὸ μαρτύριον, διανύσας καρτερώτατα, καὶ στεφάνῳ τῆς νίκης κοσμούμενος.

*Δόξα. Ἦχος α΄.*

Χαρμονικῶς φιλέορτοι πανηγυρίσωμεν· ἰδοὺ γὰρ ἡ λαμπρὰ καὶ εὔσημος μνήμη, Ἀγαθαγγέλου τοῦ ὁσιοάθλου, καταυγάζει τὰς διανοίας, καὶ κατατέρπει τὰς αἰσθήσεις ἡμῶν, καὶ δαψιλεύει τὰς ἰάσεις τοῖς εὐλαβῶς ἀσπαζομένοις τὴν σορὸν τῶν λειψάνων αὐτοῦ· διὸ τὴν ἐξ αὐτῶν χάριν ἀπαρυόμενοι, αἰτησώμεθα πρεσβεύειν, ὑπὲρ ἡμῶν πρὸς Κύριον.

*Καὶ νῦν. Τῆς Ἑορτῆς.*

*Εἰς τὸν Στίχον. Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.*

Δεῦτε ἐν τῇ σορῷ, τῶν ἱερῶν λειψάνων, θείου Ἀγαθάγγελου, ἔλθετε καὶ τὴν χάριν, τὴν ἐξ αὐτῶν ἀρύσασθε.

Στ.: *Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.*

ᾎσμασι λυγηροῖς, ἠχήσωμεν κροτοῦντες, ἐν τῇ πανδήμῳ μνήμῃ, θείου Ἀγαθαγγέλου, ἰάματα παρέχοντος.

Στ.: *Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ, ἐθαυμάστωσεν ὁ Κύριος.*

Μέγα ὡς ἀληθῶς, οἰκτίρμον τὸ Σὸν κράτος, τὸν γὰρ κηρύξαντά Σε, Ἀγαθάγγελον θεῖον, λαμπρῶς σὺ ἀντεδόξασας.

*Δόξα. Τριαδικόν.*

Τριάδα τὴν σεπτήν, Πατέρα Λόγον Πνεῦμα, Ἀγαθάγγελος μέσον, ἐκήρυξε σταδίου, ἕνα Θεὸν ἀχώριστον.

*Καὶ νῦν. Θεοτοκίον.*

Δέσποινα ἀγαθή, τὸν Σὸν Υἱὸν δυσώπει, σὺν τῷ Ἀγαθαγγέλῳ, κλεινῷ ὁσιοάθλῳ, οἰκτειρῆσαι τοὺς δούλους Σου.

*Νῦν ἀπολύεις. Τρισάγιον.*

*Ἀπολυτίκιον. Ἦχος γ΄. Τὴν ὡραιότητα.*

Τὸν ἀξιέπαινον, Ὁσιομάρτυρα, τῆς πολυαίνου τε, Αἴνου τὸ βλάστημα, καὶ Ἐσφιγμένου τῆς Μονῆς, ἐξαίρετον εὐωδίαν, πάντες εὐφημήσωμεν, ἱερὸν Ἀγαθάγγελον, οὗτος γὰρ κατέστρεψε, τοῦ βελίαρ τὰ τάγματα· διὸ στεφηφορῶν σὺν Ἁγίοις, πρεσβεύει σωθῆναι πάντας ἡμᾶς.

*Δόξα. Ἦχος δ'. Ταχὺ προκατάλαβε.*

Ἀσκήσεως νάμασι, καταρδευθεῖς τὴν ψυχήν, Μαρτύρων ἐξήστραψας, μαρμαρυγᾶς φωταυγεῖς, σοφὲ Ἀγαθάγγελε, ὅθεν ἐν ἀμφοτέροις, ἀκριβῶς διαπρέψας, ᾔσχυνας τοὺς ἐξ Ἄγαρ, τὸν Χριστὸν μεγαλύνας. Αὐτὸν οὖν ὁσιομάρτυς, ἡμῖν ἱλέωσαι.

*Καὶ νῦν. Τῆς Ἑορτῆς.*

*Ἀπόλυσις.*

# ΜΕΓΑΣ ΕΣΠΕΡΙΝΟΣ

Εὐλογήσαντος τοῦ ἱερέως, ὁ Προοιμιακός, καὶ τό· *Μακάριος ἀνήρ.* Εἰς δὲ τό· *Κύριε ἐκέκραξα,* ἱστῶμεν στίχους στ’ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια. Ἦχος α’. Τῶν οὐρανίων ταγμάτων.

Σήμερον χαίρει Ὁσίων καὶ τῶν Μαρτύρων χορός, τῶν δὲ πιστῶν τὰ στίφη, Θεῷ αἴνεσιν πέμπει· τοῖς μὲν γὰρ προσετέθη κλεινὸς χορευτής, τὸ τῆς Αἴνου ἀγλάϊσμα· οἱ δὲ πρὸς Κύριον ἔχοντες πρεσβευτήν, Ἀγαθάγγελον τὸν Μάρτυρα.

Ἀγαθαγγέλου τὴν μνήμην τοῦ Νεομάρτυρος, σήμερον δεῦτε πάντες, ἑορτάσωμεν πίστει, τυράννων γὰρ τὰ θράση καὶ ἀπειλάς, καὶ αἰκίας οὐκ ἔπτηξεν, ἀλλ’ἀδεῶς ἐναθλήσας ὑπὲρ Χριστοῦ, ἱκετεύει τοῦ σωθῆναι ἡμᾶς.

Τῷ Βασιλεῖ τῶν ἁπάντων ὤφθης πιστὸς ὀπαδός, τὰς ἀπειλὰς ἀνόμων, εἰς οὐδὲν ἐλογίσω· χαρᾷ δὲ ὅτι πλείστῃ ἐλθὼν εἰς σφαγήν, ἐκομίσω τὸν στέφανον, τὸν τῆς ἀθλήσεως μάκαρ παρὰ Χριστοῦ, Ὧ καὶ πρέσβευε σωθῆναι ἡμᾶς.

*Ἕτερα. Ἦχος β΄. Ποίοις εὐφημιῶν.*

Ποίοις, εὐφημιῶν στέμμασιν, ἀναδήσωμεν τὸν Ἀθλοφόρον; Τὸν οὐρανοπόλον καὶ κήρυκα, τῆς τοῦ Ἰησοῦ Ἀναστάσεως, τὸ ὡραῖον βλάστημα τῆς Αἴνου· τὸ ἄνθος, τῆς Ἐσφιγμένου τὸ μυρίπνοον, καὶ Σμύρνης, περιφανέστατο ἐντρύφημα· τὸν νικητὴν ἀσεβείας, ὃν

στεφάνοις δόξης, ὡς νικήσαντα στεφανοῖ, Χριστὸς ὁ Θεὸς ἡμῶν, ὁ ἔχων τὸ μέγα ἔλεος.

Ποίοις ὑμνῳδιῶν κάλλεσιν, καταστέψωμεν τὸν Ἀθλοφόρον; Τὸν διακαέστατον ἄνθρακα, τὸν θείῳ πυρούμενον ἔρωτι, καὶ τῶν ἀσεβῶν τὰς παρζατάξεις, ἀθρόως, φρυγάνων δίκη πυρπολήσαντος, πιστῶν δέ, τὰς ὁμηγύρεις διαλάμψαντος, καὶ χαρμοσύνης πληροῦντος, τὸν ὁσιόαθλον Ἀγαθάγγελον Χριστοῦ, ἀγρύπνως πρεσβεύοντα, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ποίοις σε ἱεροῖς ᾄσμασιν, ἀνυμνήσωμεν ὦ Ἀθλοφόρε; Τὸν στεῤῥὸν ὁπλίτην τῆς χάριτος, τῆς μὲν εὐσεβείας ὑπέρμαχον, τῆς δὲ ἀσεβείας καταλύτην· τῇ μέν, ὡς τοὺς Ὀρθοδόξους κρατύναντα, τῇ δέ, ὡς τοὺς κακοδόξους καταισχύναντα, καὶ φιμώσαντα ἀπίστους, τοῦ Σταυροῦ τῇ χάριτι, καὶ καρτερήσαντα γενναίως, τὸν διὰ σφαγῆς θάνατον· ὅθεν σε τιμῶμεν Ἀγαθάγγελε.

*Δόξα. Ἦχος πλ. β΄.*

Σήμερον συγκαλεῖται ἡμᾶς, ὁ τοῦ Χριστοῦ Ὁσιομάρτυς Ἀγαθάγγελος, εἰς πανδαισίαν εὐφρόσυνον, τὰ ἆθλα αὐτοῦ προτιθέμενος. Οὗτος γὰρ ὡς ἀστὴρ φαεινός, ἐκ τῆς Μονῆς ἡμῶν Ἐσφιγμένου ἀνατείλας, ἐν τῇ τῶν Σμυρναίων πόλει διὰ μαρτυρίου ὑπεισδύς, λαμπρῶς αὖθις, διὰ τῶν λειψάνων αὐτοῦ ἀναδύς, ἀγαθῶν ἀγγελιῶν μηνυτὴς ἡμῖν πάρεστι, στίλβων ἀκραιφνῶς τὸ τῆς Ἐκκλησίας στερέωμα· ὅθεν πρὸς αὐτὸν ἐκβοήσωμεν λέγοντες· χαίροις, ὁ τὰς πικροτάτας βασάνους ὑπενεγκών, καὶ τὴν σφαγὴν

χαίρων διὰ τὴν αἰώνιον ζωήν· διὸ αἰτοῦμέν σε Νεομάρτυς πανένδοξε, Ἐσφιγμένου τὸ καύχημα, τοῦ πρεσβεύειν ὑπὲρ ἡμῶν, τῶν λαμπρῶς σου τιμώντων τὸ μνημόσυνον.

*Καὶ νῦν. Τῆς Ἑορτῆς.*

*Λιτή. Ἦχος α΄.*

Ὁ ἔνδοξος τοῦ Χριστοῦ Ὁσιομάρτυς Ἀγαθάγγελος, ἐν τῇ ἐνδόξῳ αὐτοῦ μνήμῃ, χαρᾶς ἀφάτου πνευματικῆς πάντας ἐνέπλησε, καὶ ταῖς ἄνω Δυνάμεσιν εὐφραινόμενος, ἐπίγειον τοῖς πιστοῖς συγκροτεῖ, τὰ ἆθλα αὐτοῦ προτιθέμενος, καὶ τὰ αὐτοῦ πανσέβαστα λείψανα, εὐωχίαν καὶ χάριν προχέοντα· διὸ αὐτὸν ἀξίως τιμήσωμεν, ἀπαύστως πρεσβεύοντα, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Ἦχος β΄.*

Θαυμαστὸς εἶ ὁ Θεός, καὶ τῶν θαυμασίων σου πέρας ὅλως οὐκ ἔστιν· ἰδοὺ γὰρ ἐν τῇ καθ’ ἡμᾶς γενεᾷ, ὁ Μάρτυς καὶ Ὅσιος Ἀγαθάγγελος, ἐν φθαρτῷ σώματι, τούς τε ἀσάρκους δαίμονας, καὶ ἐνύλους ἐχθροὺς ἐτροπώσατο. Τὰ ἐπίκηρα πάντα βδελυξάμενος, καὶ τὴν αἰωνίζουσαν εὔκλειαν κληρωσάμενος. Τῇ παναλκεῖ δυνάμει σου ῥωννύμενος ὁ ἀήττητος, ἀνόμους διελέγχων ἀπτοήτως ὑφ’ ὧν τὴν ἐρίτιμον αὐτοῦ κάραν ἀποτμηθείς, ταῖς τῶν Μαρτύρων συνήφθη χορείαις, πρεσβεύων ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Ἦχος γ΄.*

Νεομάρτυς Χριστοῦ, Ἀθλητὰ Ἀγαθάγγελε, κατὰ χρέος σήμερον, τὴν μνήμην σου ἄγοντες, ὑμνοῦμεν ἐν ᾄσμασι τοὺς ὑπὲρ τῆς εὐσεβείας ἀγῶνάς σου. Τῆς γὰρ προσκαίρου ζωῆς ἠλόγησας, ὑπὲρ ἀγάπης τοῦ Κτίσαντος· Ὃν ἱκετεύων μὴ παύσῃ πολύαθλε, ὑπὲρ τῶν ἐκτελούντων τὴν μνήμην σου.

*Δόξα. Ἦχος πλ. δ΄.*

Ὢ τῆς ἀδαμαντίνου σου ψυχῆς, γενναῖε τοῦ Χριστοῦ Ἀθλητά, Ὁσιομάρτυς Ἀγαθάγγελε, πῶς καταπεφρόνηκας ἀνδρείως, τὰς ἀγριωποὺς τῶν δυσμενῶν παρατάξεις; Τὴν γὰρ ὠμότητα αὐτῶν, παραβαλλομένην τῇ ἐν σοὶ ῥωμαλαιότητι, ὡς πάντῃ ἀνίσχυρον ἔκρινας· ὅθεν καὶ εὐθύμως ὑποστὰς τὴν σφαγήν, ἔλεγες τοῖς ἀσεβέσι τυράννοις, τοῖς προτείνουσί σοι τὰ εἴδη τῶν κολάσεων· ταῦτα πάντα γινώσκω, καὶ μεθ᾽ ὅσης πλείστης ἐκδέχομαι τῆς χαρᾶς, ἕτοιμος εἰμὶ ὑπομεῖναι, πάντα διὰ τὸν Χριστόν μου, τὸ γλυκύ μοι πρᾶγμα καὶ ὄνομα. Αὐτὸν ἱκέτευε Ἅγιε, περισώζεσθαι ἄτρωτον, τὴν μεγαλύνασάν σε πόλιν Σμυρναίων, καὶ τὸ σοὶ ἐράσμιον Κοινόβιον Ἐσφιγμένου, καὶ ἅπαν τῶν Ὀρθοδόξων τὸ πλήρωμα.

*Καὶ νῦν. Τῆς Ἑορτῆς.*

*Εἰς τὸν Στίχον. Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.*

Χαίροις, ὁ στρατιώτης Χριστοῦ, ὁ τῆς Μονῆς τοῦ Ἐσφιγμένου ὑπέρμαχος, τὸ καύχημα τῶν Σμυρναίων, ὁ κατ᾽ ἐχθρῶν δυσμενῶν, παρατεταγμένος

ἀνδρικώτατα, καὶ τούτους τρεψάμενος, τῷ Σταυρῷ τοῦ Κυρίου σου, εἰς Ὃν ἐλπίζων, ἑαυτὸν παραδέδωκας, καὶ κολάσεσι, καὶ σφαγῇ ἀκατάπληκτος· χαίροις ὁ ἐπουράνιος, ψυχὴν καὶ τὸ φρόνημα, καὶ τῶν Ἁγίων Ἀγγέλων, συνθιασώτης γενόμενος, σὺν οἷς καὶ πρεσβεύεις, Ἀγαθάγγελε σωθῆναι, τοὺς ἀνυμνοῦντάς σε.

Στ.: *Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.*

Ὅπλῳ, τοῦ ζωηφόρου Σταυροῦ, καθοπλισθεὶς πρὸς τοὺς τυράννους ἐχώρησας, κᾀκείνοις Χριστὸν κηρύξας, Υἱὸν Θεοῦ ἀληθῆ, τὴν αὐτῶν μανίαν ἐθεάτρισας· ὑφ’ ὧν ἀπειλούμενος, καὶ πολλὰ τιμωρούμενος, Ὁσιομάρτυς, Ἰησοῦ Ἀγαθάγγελε, καὶ τὰ φόβητρα, ὑποσχέσεις ἡγούμενος, ὅλως ὢν θεοφόρητος, γυμνός τε τοῦ σώματος, καὶ τῆς Τριάδος δοχεῖον, τῆς μακαρίας γενόμενος, πολλῶν ἠξιώθης, ἀκηράτων τε στεφάνων, ἀξιοθαύμαστε.

Στ.: *Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ, ἐθαυμάστωσεν ὁ Κύριος.*

Χαίροις, ὁ ἱερὸς Ἀθλητής, τῶν μοναστῶν ὁ ἀγαθώνυμος ἄγγελος, τὸ κλέος τοῦ κοινοβίου, τῆς τοῦ Σωτῆρος Μονῆς, ἀγαθός τε κόσμος ἀγγελώνυμος, τῆς Σμύρνης ἀγλάϊσμα, καὶ τῆς Αἴνου τὸ καύχημα, στῦλος ὁ μέγας, διαμείνας ἀσάλευτος, καὶ ἀκράδαντος, τῇ Χριστοῦ θείᾳ χάριτι· μέμνησο τῶν τιμώντων σου, τὴν μνήμην τὴν ἔνδοξον, ὁ ἀριστεύσας ἐνδόξως, ὡς στρατιώτης ἀήττητος· Χριστὸν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

*Δόξα. Ἦχος πλ. α΄.*

Δεῦτε χριστοφόροι λαοὶ καὶ φιλέορτοι, τὰ ἄνθη τῶν ᾀσμάτων δρεψάμενοι, τὸν Νεομάρτυρα τοῦ Χριστοῦ Ἀγαθάγγελον στεφανώσωμεν, καὶ τὴν σορὸν τῶν ἱερῶν αὐτοῦ λειψάνων περικυκλοῦντες, ἰαμάτων χαρίσματα πηγάζουσαν, λιτανεύσωμεν ἐκθειάζοντες, καὶ πρὸς αὐτὸν δεόμενοι εἴπωμεν· νεόαθλον ἀγλάϊσμα, Σμυρναίων πολιοῦχε, καὶ πολυαίνου τὸ βλάστημα, τῆς Μονῆς σου σεμνολόγημα, πρόφθασον τοὺς ὑμνητάς σου ἐξαιρούμενος, ἐκ τῶν κινδύνων καὶ θλίψεων εὐπροσδέκτοις πρεσβείαις σου.

*Νῦν ἀπολύεις. Τρισάγιον.*

*Ἀπολυτίκιον. Ἦχος γ΄. Τὴν ὡραιότητα.*

Τὸν ἀξιέπαινον, Ὁσιομάρτυρα, τῆς πολυαίνου τε, Αἴνου τὸ βλάστημα, καὶ Ἐσφιγμένου τῆς Μονῆς, ἐξαίρετον εὐωδίαν, πάντες εὐφημήσωμεν, ἱερὸν Ἀγαθάγγελον, οὗτος γὰρ κατέστρεψε, τοῦ βελίαρ τὰ τάγματα· διὸ στεφηφορῶν σὺν Ἁγίοις, πρεσβεύει σωθῆναι πάντας ἡμᾶς.

*Δόξα. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.*

Ἀσκήσεως νάμασι, καταρδευθεῖς τὴν ψυχήν, Μαρτύρων ἐξήστραψας, μαρμαρυγᾶς φωταυγεῖς, σοφὲ Ἀγαθάγγελε, ὅθεν ἐν ἀμφοτέροις, ἀκριβῶς διαπρέψας, ᾔσχυνας τοὺς ἐξ Ἄγαρ, τὸν Χριστὸν μεγαλύνας. Αὐτὸν οὖν ὁσιομάρτυς, ἡμῖν ἱλέωσαι.

*Καὶ νῦν. Τῆς Ἑορτῆς.*

*Ἀπόλυσις.*

## ΟΡΘΡΟΣ

*Μετὰ τὴν α' Στιχολογίαν,*

*Κάθισμα. Ἦχος α'. Τὸν τάφον Σου Σωτὴρ.*

Τὸν νέον Ἀθλητήν, Ἀγαθάγγελον ὕμνοις, τιμήσωμεν πιστοί, εὐφημοῦντες σὺν πόθῳ, τοὺς ἄθλους τούτου μέλποντες, καὶ ἀγῶνες καὶ σκάμματα, ἃ ὑπέμεινεν, ὑπὲρ Χριστοῦ τῆς ἀγάπης, καὶ κατήσχυνε, θράσος ἀνόμων καὶ στέφος, ἀμάραντον εἴληφε.

*Δόξα. Καὶ νῦν. Τῆς Ἑορτῆς.*

*Μετὰ τὴν β' Στιχολογίαν,*

*Κάθισμα. Ἦχος δ'. Ταχὺ προκατάλαβε.*

Θεός σε ἐδόξασεν ἐν οὐρανῷ καὶ ἐν γῇ, σοφὲ Ἀγαθάγγελε ὡς ἐναθλήσαντα· διὸ τοῖς τελοῦσί σου, πόθῳ τὴν θείαν μνήμην, καὶ πιστῶς προσκυνοῦσι, θήκην τῶν σῶν λειψάνων, τὴν σὴν χάριν παράσχου, δεόμενος τοῦ Χριστοῦ ὑπὲρ ἡμῶν, τοῦ λυτρωθῆναι κινδύνων καὶ θλίψεων.

*Δόξα. Καὶ νῦν. Τῆς Ἑορτῆς.*

*Μετὰ τὸν Πολυέλεον,*

*Κάθισμα. Ἦχος δ'. Κατεπλάγη Ἰωσήφ.*

Τὸν γενναῖον Ἀθλητήν, τῆς Ἀναστάσεως Χριστοῦ, θεῖον κήρυκα πιστοί, ἀνευφημήσωμεν ᾠδαῖς, καὶ ὕμνοις πάντες, τὸν ἔνδοξον Ἀγαθάγγελον· δι' οὗ ἡ τυραννίς, τοῦ ἀοράτου ἐχθροοῦ, δυνάμει θεϊκῇ, κατεπεπάτηται, καὶ ἰαμάτων ἴασις πλουσίως, παρὰ

Κυρίου δεδώρηται, τοῖς μετὰ πόθου, ἀσπαζομένοις τὰ ἱερὰ αὐτοῦ λείψανα.

*Δόξα. Καὶ νῦν. Τῆς Ἑορτῆς.*

Εἶτα, οἱ Ἀναβαθμοί· τὸ α’ Ἀντίφωνον τοῦ δ’ ἤχου.

Προκείμενον: *Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.*

Στ.: *Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ, ἐθαυμάστωσεν ὁ Κύριος.*

Εὐαγγέλιον, Μαρτυρικόν.

Ὁ Ν’ ψαλμός.

Δόξα: *Ταῖς τοῦ Ἀθλοφόρου...*

Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου...*

Ἰδιόμελον. Ἦχος β'. Στ.: *Ἐλέησόν με ὁ Θεός...*

Ἀγαθὸς ἄγγελος, ὥσπερ ἐκλήθης παμμάκαρ Ἀγαθάγγελε· ἔσπευσας ἀξίως τοῦ σοῦ ὀνόματος, καὶ φερωνύμως γέγονας, ἀγαθῶν ἡμῖν ἀγγελιῶν κομιστής· ὅτι συνέτριψας τὴν κάραν τοῦ πολεμίου δράκοντος, τῷ ζωοποιῷ τοῦ Σωτῆρος Σταυρῷ· διὸ καὶ πάντας τοὺς φιλομάρτυρας, ὡς νικητὴς γενόμενος, ὑπερεύφρανας ὄντως, τῇ καρτερίᾳ σου Ἅγιε.

Εἶτα, οἱ Κανόνες· τῆς Ἑορτῆς, καὶ τοῦ Ἁγίου δύο.

*Ὁ α’ Κανών. Ὠδὴ α’. Ἦχος α’. Ἀναστάσεως ἡμέρα.*

Ἀγαλλόμενοι ἐνθέῳ ἐν τῇ μνήμῃ τῇ σῇ, Μάρτυς στεφανηφόρε, σὺν τῇ ἐγέρσει τοῦ Χριστοῦ, εὐφημοῦμεν ἐν ᾠδαῖς, ᾀσμάτων τοὺς σούς, σοφὲ Ἀγαθάγγελε, ἀγῶνας γηθόμενοι.

Ἡ χαρμόσυνος ἡμέρα Ἀθλοφόρε Χριστοῦ, ἔλαμψε τῆς σῆς μνήμης, καὶ τελειώσεως σεπτῆς, συνεγείρουσα ἡμᾶς, ἐνθέως εἰς ἓν στεῤῥὲ Ἀγαθάγγελε, ὑμνῆσαι τὰ ἆθλά σου.

Ἡ Μονὴ τοῦ Ἐσφιγμένου κεκτημένη τὰ σά, λείψανα Ἀθλοφόρε, ἐπαγάλλεται νῦν, πολιοῦχον καὶ φρουρόν, σὲ πλουτοῦσα ἀνυμνεῖ, σοφὲ Ἀγαθάγγελε, τοὺς ἀγῶνας καὶ ἆθλά σου.

*Θεοτοκίον.*

Παναγία Θεοτόκε τῶν πιστῶν ἡ ἐλπίς, σθένος τῶν Ἀθλοφόρων, καὶ ἡ ἀήττητος ἰσχύς, Σὺ ὑπάρχεις ἀληθῶς, Ἀγαθαγγέλου τοῦ Σου, σῶμα καὶ διάνοιαν, ταῖς εὐχαῖς Σου νευρώσασα.

*Ὁ β' Κανών. ᾨδὴ α'.*

*Ἦχος πλ. δ΄. Ἁρματηλάτην Φαραώ.*

Ὕμνον προσάδειν τῇ σεπτῇ ἀθλήσει σου ἐπιποθοῦντι τανῦν, χάριν ἐν τῷ λόγῳ, θεῖε Ἀγαθάγγελε, παράσχου μοι τῷ δούλῳ σου, ὡς ἂν μέλψω ἀξίως, τὸ ἱερόν σου μαρτύριον, καὶ τὰ ἀνδρικά σου παλαίσματα.

Μείνας ἐν τόπῳ ἡσυχίας Ὅσιε καὶ τῷ Θεῷ συναφθείς, ἀπεκρούσω πρῶτον, δυσμενοῦς πειράματα, καὶ κακομηχανήματα, ἀποδείξας παιδίων, νηπιαζόντων ἀθύρματα, εἶτα Θεοτόκον ἑώρακας.

Νέων Μαρτύρων τοῦ Χριστοῦ τὴν ἄθλησιν καὶ τὰ μαρτύρια σύ, προαναγινώσκων, συνεχῶς ἀοίδιμε, καὶ

ἐξαιρέτως ἄθλησιν, Εὐθυμίου τοῦ νέου, καὶ συμμαρτύρων θερμῶς αὐτοῦ, ἧψας σὴν ψυχὴν θείῳ ἔρωτι

*Θεοτοκίον.*

Ὄμματα ὥσπερ τῆς παιδίσκης βλέπουσιν ἀεὶ Κυρίας αὐτῆς, εἰς τὰς χεῖρας οὕτως, ἔβλεπον τὰ ὄμματα, τοῦ καρτεροῦ θεράποντος, πρὸς εἰκόνα ἀπαύστως, Σοῦ τῆς κυρίας τῆς κτίσεως, ἕως οὗ αὐτὸν κατῳκτείρησας.

*ᾨδὴ γʼ. Δεῦτε πόμα πίωμεν καινόν.*

Δεῦτε ἅπαντες ᾄσωμεν Χριστῷ, ἀναστάντι εκ τάφου τ ῷἐνισχύσαντι, τὸν ἑαυτοῦ Ἀθλητήν, στεῤῥὸν Ἀγαθάγγε λον ἐχθρῶν,νικῆσαι τὰς φάλαγγας.

Τῷ ὅπλῳ φραξάμενος Σταυροῦ, Ἀγαθάγγελε ἔστης π ρὸβήματος, τῶν ἀσεβῶν καὶ στεῤῥῶς, Χριστὸν ἀνεκήρυ ξας Θεόν, καὶπλάνην διήλεγξας.

Μονῆς Ἐσφιγμένου τὸν φρουρόν, καὶ Σμυρναίων κα ὶ Αἴνουκῦδος καὶ καύχημα, τὸν Ἀθλητὴν τοῦ Χριστοῦ, Ἀγαθάγγελον ᾠδαῖς,καὶ ὕμνοις τιμήσωμεν.

*Θεοτοκίον.*

Ὤφθη θαῦμα μέγιστον ἐν Σοί, ἐκτελούμενον Κόρη θεοχαρίτωτε, τὸν Ποιητὴν τοῦ παντός, καὶ γὰρ ἀπεκύησας ἡμῖν, γενόμενον ἄνθρωπον.

*Ἕτερος. Οὐρανίας ἁψῖδος.*

Νέον ῥόδον ἐφάνης ἐνερευθὲς εὔοσμον, ἐν καιρῷ χειμῶνος, τῆς νῦν ἀνθῆσαν ψυχρότητος, εὐφραῖνον,

καὶ ἐμπιπλῶν εὐωδίας, τῶν πιστῶν τὴν ὄσφρησιν, Μάρτυς ἀοίδιμε.

Πολὺν πόλεμον ἔσχες καὶ πειρασμοὺς ἔνδοθεν, ἐκ τοῦ διαβόλου βελίαρ, ὅτε προσέδραμες, πρὸς τὸ Κοινόβιον, ἀλλὰ Σταυροῦ τῇ δυνάμει, ἅπαντας ἐσκόρπισας, διὰ τῆς πίστεως.

Ἐθεάσω καθ' ὕπνους τοὺς σοὺς ἐχθροὺς ἔνδοξε, ὀλοφυρομένους, θρηνοῦντας τὴν σωτηρίαν σου, ἀγαθὲ ἄγγελε, καὶ ἀσθενὴς ὢν προσέτι, ἐνευρώθης ἔνδοξε, πρὸς τὸ μαρτύριον.

*Θεοτοκίον.*

Ὁ μὲν σκῦλα εὑρίσκων καὶ θησαυρὸν τέρπεται, ὁ δὲ Κύριός μου, πανσέβαστος Ἀγαθάγγελος, ἔχων εἰκόνα Σου, ὡς θησαυρὸν κεκρυμμένον, ἔχαιρε ἁγνὴ ἀειπάρθενε.

*Κάθισμα. Ἦχος πλ. δ΄. Τὸ προσταχθὲν μυστικῶς.*

Τῶν Ὀρθοδόξων ἡ πληθὺς χαρᾶς ἐπλήσθη, καὶ θάρσος ἔλαβεν ἀνέκφραστον καὶ θεῖον, ὅτε κλίνας τὴν κάραν, γενναίως ἀπετμήθη· ὁ Μάρτυς ὁ τοῦ Κυρίου ὃν θεωρῶν, ἐλάλει ἄλλος ἀλλοῖα χαροποιά, δοξάζοντες τὸν Κύριον, καὶ τὸν αὐτοῦ ὑπουργόν, τὸν θεῖον Ἀγαθάγγελον· χαῖρε Μάρτυς ἀήττητε.

*Δόξα. Καὶ νῦν. Τῆς Ἑορτῆς.*

*ᾨδὴ δ'. Ἐπὶ τῆς θείας φυλακῆς.*

Τῆς σῆς ἀνδρείας τὸ στεῤῥόν, πάντας ἐξέπληξεν ἡμᾶς, Μάρτυς Ἀγαθάγγελε ὅτε, δικαστῇ παρέστηκας,

ἐλέγχων τὴν ἀσέβειαν, ἅπασαν τῶν ἀνόμων γενναίως, καὶ τὸν Χριστὸν ἀνακηρύττοντα.

Ἀλλεπαλλήλοις ἀλγεινοῖς, παλαιῶν Μάρτυς τοῦ Χριστοῦ, ἔφερες γενναίως γεραίρων, εὐχαρίστοις ᾄσμασι, Χριστὸν καὶ ἀνεκραύγαζες· δόξα Σοι ζωοδότα Σωτήρ μου, ὅτι ἐνίσχυσας κᾀμὲ πρὸς τὸ μαρτύριον.

Ἐν ὀπτασίᾳ θαυμαστῇ, εἶδες Μητέρα τοῦ Θεοῦ, σὲ παραθαῤῥύνουσαν Μάρτυς, πρὸς τὸ θεῖον στάδιον, ὃ ἔμελλες εἰς ὕστερον, ἔρχεσθε πρὸς σὴν πληροφορίαν· διό σε πόθῳ γεραίρομεν.

*Θεοτοκίον.*

Βιαιοτάτης με χειρός, ῥῦσαι Παρθένε Μαριάμ, λύτρωσαι παντοίων κινδύνων, καὶ μελλούσης κρίσεως, Θεὸν Σωτῆρα τέξασα, πάντων τῶν ἐπὶ Σοὶ πεποιθότων, καὶ προσκυνούντων πιστῶς τὸν θεῖον τόκον Σου.

*Ἕτερος. Σύ μου ἰσχύς.*

Σοῦ μὲν πυκνῶς, ἡ θειοτάτη ἐθέλγετο, ψυχὴ μάκαρ, θεῖε Ἀγαθάγγελε· ὅθεν ἐβόας μοι συνεχῶς· ἄγε πορευθῶμεν, πρὸς τὸ ποθούμενον στάδιον, οὐκ ἔτι στέγω μένειν, ἐν τῷ σώματι τούτῳ, τῷ δυνάστῃ τιμὴν προσενέγκαντι.

Κωφὸς δ’ ἐγώ, τὸ πρᾶγμα ἀναλλόμενος, ἥξει ἔφην, ὁ καιρὸς τῆς δόξης σου, τὸ πνευματικόν, πρόθυμον ὁρῶν· τὴν δὲ ἀσθενείαν, σαρκός σου ὑποπτευόμενος, ἀλλ’ ἔφθασεν ἡ ὥρα, ἀποστάς τε τῆς λύπης, μαρτυρίου, τὸν στέφανον εἴληφας.

Διὸ πιστοί, καὶ τὸ μακάριον λείψανον, εὐωδίας θαυμαστῆς πεπλήρωται, εἰς αἶσχος μὲν τῶν Ἀγαρηνῶν, δόξα δὲ καὶ κλέος, τοῦ χριστωνύμου πληρώματος· ἀλλ’ ὦ Ὁσιομάρτυς, ἐκτενῶς ἱκετεύων, ταῖς πρεσβείαις σῷζε τοὺς δούλους Σου.

*Θεοτοκίον.*

Ὦ Μαριάμ, ἐβόα ὁ Ἀγαθάγγελος, σὺ ἐν μέσῳ, Θεοῦ καὶ ἀνθρώπων τε, οὖσα τὸν μέν, ὡς βροτοῦ υἱόν, ἔτεκες Παρθένε, τοὺς δὲ ἀνθρώπους ἀνέδειξας, υἱοὺς Θεοῦ· διό με, ἀποκήρυκτον ὄντα, τῷ Θεῷ υἱοποίησον ἄχραντε.

*ᾨδὴ ε’. Ὀρθρίσωμεν ὄρθρου βαθέος.*

Ὑμνοῦμεν σοὺς θείους ἀγῶνας, καὶ μετὰ δέους καὶ πόθου αἰτοῦμεν ὦ Ἀγαθάγγελε, δυσωπεῖν τὸν Κύριον, ὑπὲρ πάντων τῶν τιμώντων σε, καὶ ἐκτελούντων τὴν μνήμην σου.

Συνέλθωμεν ζέοντι πόθῳ, τὸν Ἀγαθάγγελον ὕμνοις, εὐφημῆσαι νῦν κατὰ χρέος, ἀήττητον Μάρτυρα, καὶ εὐσεβείας πρόμαχον, καὶ τῶν πιστῶν ἀντιλήπτορα.

Ἐξ οἰκείων Μάρτυς αἱμάτων, τὴν πορφυρίδα τὴν σαυτοῦ, ἐφοίνιξας Ἀθλοφόρε, καὶ Χριστῷ παρίστασαι, μετὰ Μαρτύρων ἔνδοξε, στέφει στεφθεὶς Ἀγαθάγγελε.

*Θεοτοκίον.*

Πανύμνητε Θεογεννῆτορ, ὑπὲρ τοῦ κόσμου δυσώπει, τὸν Κύριον καὶ Θεόν Σου, καὶ εἰρήνην αἴτησαι, καὶ τῶν δεινῶν τὴν λύτρωσιν, τοῖς εὐλαβῶς Σοι προσφεύγουσιν.

*Ἕτερος. Ἵνα τί με ἀπώσω.*

Θείῳ ἔρωτι Μάρτυς, τῷ τοῦ μαρτυρίου δεινῶς συνεχόμενος, τὸν κοινὸν Πατέρα ἀεννάως, θερμῶς καθικέτευε, ὡς σὲ ἀποπέμψῃ, ταχύτερον πρὸς τὰς βασάνους, καὶ τροπώσῃς τὸν δόλιον δράκοντα.

Ἐνθαρσεῖ παῤῥησίᾳ, ἤλεγξας ἀπίστους σοφὲ Ἀγαθάγγελε, καὶ Θεὸν ἁπάντων, τὸν Χριστὸν Ἰησοῦν ἀνεκήρυξας, τὴν δ' αὐτῶν θρησκείαν, πλάνην ἀπέδειξας πανσόφως, καὶ παρέδως αὐτὴν ἀναθέματι.

Ὁ Κριτὴς ἐξεπλάγη, καὶ οἱ μετ' ἐκείνου συνεδρεύοντες ἅπαντες, τὴν ὑπομονήν σου καὶ ψυχῆς τὸ ἀνδρεῖον ἀνάστημα, βλέποντές σε Μάρτυς, τίς οὗτος ἔλεγον ὑπάρχει; Πρὸς ἀλλήλους ὁρῶντες σὺν θαύματι.

*Θεοτοκίον.*

Δόξα αὕτη Σοι μόνη, πάντων τῶν ἀνθρώπων Παρθένε δεδώρηται, γενέσθαι δὲ Μητέρα τοῦ Θεοῦ, ἀνεκφράστως πανάχραντε· ὅθεν ὦ Κυρία, ἀσφαλεστάτην Σε ἐλπίδα, κεκτημένος διάσωσον δέομαι.

*ᾨδὴ στ'. Κατῆλθες ἐν τοῖς κατωτάτοις.*

Ἀνῆλθες ἐν ταῖς ἀνωτάταις τιμαῖς, καὶ παρέστηκας νυνί, τῷ Δεσπότῃ ἐν δόξῃ, Ἀγαθάγγελε Χριστῷ, τοῖς σοῖς αἵμασι, φοινιχθεῖσάν σου λαμπρῶς, τὴν στολὴν Ἀθλοφόρε.

Κηρύξας ἐν δικαστηρίοις τρανῶς, ἀναστάντα τὸν Χριστόν, ἐκ τοῦ τάφου ἐν δόξῃ, Ἀγαθάγγελε σοφέ,

χαίρων ἤθλησας, καὶ θανὼν ὑπὲρ Χριστοῦ, συνανέστης ἐν δόξῃ.

Ἀγάλλου ἐν ταῖς οὐρανίαις τρυφαῖς, καὶ μνημόνευε ἡμῶν, τῶν σῶν δούλων ἐκ πόθου, ἀνευφημούντων τὴν σὴν θείαν ἄθλησιν, Ἀγαθάγγελε σοφέ, ὁσιόαθλε μάκαρ.

*Θεοτοκίον.*

Ἐλέους πλουσίου, ὡς οὖσα πηγή, κατοικτείρησον λαόν, ἐπὶ Σοὶ τὰς ἐλπίδας, ἐχόντων Δέσποινα, ἐλεήμονα, καὶ οἰκτίρμονα Θεόν, Σὺ γὰρ ἔτεκες μόνη.

*Ἕτερος. Τὴν δέησιν ἐκχεῶ.*

Ὡς κόλακες, ἀληθῶς ὁμιλοῦντες, καὶ ὡς θῶπες οἱ ἀπόγονοι Ἄγαρ, σὲ τὸν Χριστοῦ, γενναιόψυχον δοῦλον, ἐκλιπαροῦντες πολλά σοι ὑπέσχοντο, καὶ πλοῦτον κόσμου καὶ τιμάς, ἀλλὰ σὺ σιωπῶν πάντας ᾔσχυνας.

Ὡς ἔλαφος, ἡ διψῶσα ἠπείγου, ψαλμικῶς ἐπὶ πηγὰς μαρτυρίου· ὅθεν θερμῶς, καὶ ἀτρέπτως ἐλάλεις, τῷ δικαστῇ τὰς βασάνους προβάλλοντι, αὐτὰς κἀγὼ ἐπιποθῶ, τῷ Θεῷ καὶ Χριστῷ μου καὶ Πλάστῃ μου.

Ὡς λέοντες, ὠρυόμενοι τότε, καὶ ὡς λύκοι οἱ ἀπόγονοι Ἄγαρ, σὺ τῷ Χριστοῦ, ἐφορμῶντες ἀρνίῳ, ὤθουν ἐῤῥάπιζον, λάξ τε ἐπέβαινον, Ὁσιομάρτυς ἀγαθέ, καὶ εἱρκτῇ Σε ἐποίησαν ἔγκλειστον.

*Θεοτοκίον.*

Τὰς χεῖράς Σου, τοὺς μαστοὺς ὦ Κυρία, τῷ Υἱῷ Σου μεσιτεύουσα δεῖξον, πρόσθες τοῖς Σοῖς, τὸν ἐκείνου

Παρθένε, Σταυρὸν καὶ θάνατον, Μάρτυς ἐκραύγαζες, καὶ οὕτως ἄρα ἐπ᾽ ἐμοί, ἐξιλέωσον τοῦτον προσπαίσαντι.

*Κοντάκιον. Ἦχος δ᾽. Ὁ ὑψωθείς.*

Τὸν Ἀθλοφόρον τὸν στεῤῥὸν καὶ γενναῖον, ἀνευφημήσωμεν πιστοὶ ὁμοφρόνως, ἐπικαλούμενοι θερμότατα αὐτόν· οὗτος γὰρ ἐκήρυξεν, ἔναντι τῶν τυράννων, τὸν Χριστὸν Θεὸν ἡμῶν, ἀναστάντα ἐκ τάφου, ἀποτμηθεὶς δὲ ὕψωσε λαμπρῶς, τοῦ μαρτυρίου ἀήττητον τρόπαιον.

*Ὁ Οἶκος.*

Ὁ πολιοῦχος ἡμῶν καὶ μέγιστος προστάτης, καὶ τοῦ Χριστοῦ στρατιώτης ἄριστος, Ἀγαθάγγελος ὁ ἔνδοξος Ὁσιομάρτυς, ἐπέφανε σήμερον. Δεῦτε συνδράμωμεν ἅπαντες, χαίροντες οἱ ἀγαπητοὶ αὐτοῦ ἀδελφοί, καὶ πᾶσα τῶν μοναχῶν ἡ ὁμήγυρις τά τε πλήθη τῶν Σμυρναίων, τῆς Αἴνου ὁ λαός, καὶ ἅπαν ἐν γένει τῶν Ὀρθοδόξων τὸ πλήρωμα. Αὐτὸς γὰρ πᾶν τὸ τῆς πλάνης σκότος διέλυσε, κατ᾽ ἴχνος τῷ Χριστῷ ἀκολουθήσας, καὶ θῦμα ἑαυτὸν εὐπρόσδεκτον, ὑπὲρ Αὐτοῦ παραδούς· ὕψωσε δὲ ὡς ὁπλίτης ἀήττητος, ἔναντι τοῦ πλήθους τῶν ἀσεβῶν, καὶ τὸν τίμιον αὐτοῦ Σταυρόν, τὸ ἀήττητον τρόπαιον.

*Συναξάριον.*

*Τῇ ΙΘ΄ τοῦ αὐτοῦ Μηνός, ὁ Ἅγιος Νεομάρτυς Ἀγαθάγγελος ὁ Ἐσφιγμενίτης, ἐν Σμύρνῃ, ἐν ἔτει 1818, ξίφει τελειοῦται.*

*Χαρὰν παρέσχεν Ἀγαθάγγελος θνήσκων,*
*βροτοῖς τ' ἀγαστοῖς καὶ δὴ Ἀγγέλοις πᾶσι.*
*Τῇ δ' ἐνάτῃ μεσάτῃ Οὐλύμπου ὑψιβατὲς δῷ.*

*Ὠδὴ ζ'. Ὁ παῖδας ἐκ καμίνου.*

Ἡ χάρις τῶν λειψάνων λαλεῖταί σου Μάρτυς Ἀγαθάγγελε, καύχημα σεπτόν, παραμυθία σῆς Μονῆς, καὶ Σμυρναίων τῆς πόλεως στήριγμα, ἐν ᾗ σε θαυμαστὸν ἐπαξίως, Θεὸς πᾶσιν ἀνέδειξεν.

Ἀγγέλων σε δυνάμεις ἐκρότησαν τὸν δρόμον τελέσαντα, βλέπουσαι στεῤῥῶς, τοῦ μαρτυρίου Ἀθλητά, καὶ τὴν πίστιν ἐνδόξως τηρήσαντα, καὶ στέφει ἀφθαρσίας, εἰς αἰῶνας Θεός σε ἐστεφάνωσεν.

Σκιρτῶσα ἐκτελεῖ σου τὴν ἄθλησιν Μάρτυς Ἀγαθάγγελε, αὕτη ἡ Μονή, τοῦ Ἐσφιγμένου ἐν χαρᾷ, καὶ Σμυρναίων ὁ δῆμος γηθόμενοι, κροτοῦντες τοὺς ἀγῶνας καὶ τοὺς ἄθλους, ὁσιοάθλων σύσκηνε.

*Θεοτοκίον.*

Ἐτύπου Σου τὸ θαῦμα πανάμωμε τῶν παίδων ἡ κάμινος, ὡς γὰρ ἐν αὐτῇ, οὐ κατεφλέχθησαν οἱ τρεῖς, ἡ νηδύς Σου πυρὶ τῆς θεότητος, οὐδόλως κατεφλέχθη Παρθένε· διό Σε μεγαλύνομεν.

*Ἕτερος. Παῖδες Ἑβραίων.*

Ὥσπερ χαρίτων οὐρανίων, δῶρον δέδοσαι ἡμῖν Ὁσιομάρτυς, τοῖς τιμῶσι θερμῶς, καὶ σὲ ἠγαπηκόσι, τοῖς Ἐσφιγμένου ἀδελφοῖς, οὓς ἐπόθεις μέχρι τέλους.

Νίκην κατὰ τοῦ πολεμίου, Μάρτυς ἔλαβες, τοῦ πρὶν νικήσαντός σε, καὶ τρωθεὶς ὑπ’ αὐτοῦ, ἀντέτρωσας γενναίως, αὐτὸν καὶ ἐθανάτωσας, τῇ πολλῇ ὑπομονῇ σου.

Ἔχων ἐγκάρδιον τρισμάκαρ, τὴν ταπείνωσιν, σεαυτοῦ κατεμέμφου, καὶ ὢν διὰ Χριστόν, ἐν εἱρκτῇ ποδοκάκῃ, εὐλογηθῆναι ἤθελες, καὶ οὐκ ἄλλους εὐλογῆσαι.

*Θεοτοκίον.*

Κόρη ἁγνή, Σὺ μὲν ὑψηλοτέρα, πάσης κτίσεως, ἐγὼ δ’ ἔσχατος πάντων, πλημμελέστατος ὤν, ἐβόας ὦ παμμάκαρ· διὸ Κυρία Δέσποινα, τῷ ἐλέει Σου ἐλπίζω.

*Ὠδὴ η’. Αὕτη ἡ κλητή.*

Ἄγει σου πιστῶς ἡ Μονὴ Ἐσφιγμένου, τὴν μνήμην Ἀθλοφόρε, ἐν ἱεραῖς μελῳδίαις, πρὸς Χριστὸν εὐκλεῆ σε προβάλλουσα, πρέσβυν Ἀγαθάγγελε, αἰτοῦντα εἰρήνην, τοῖς δούλοις σου δοθῆναι.

Δέξαι προσηνῶς ἱκετῶν σου τὸν πόθον, Ἀγαθάγγελε Μάρτυς, τῶν εὐλαβῶς ἐκτελούντων, τὴν σεπτήν σου τρισμάκαρ πανήγυριν, καὶ ἀσπαζομένους σου, θήκην τῶν εὐόσμων, λειψάνων Ἀθλοφόρων.

Ἆρον τὰς ἁγίας σου χεῖρας, προσάγων ἱκεσίαν, ὑπὲρ ἡμῶν τῶν σῶν δούλων, τῶν πιστῶς ἐκτελούντων τὴν

μνήμην σου, κινδύνων ῥυόμενος, ἔχων παῤῥησίαν, Ἀγαθάγγελε πλείστην.

*Θεοτοκίον.*

Μόνη γυναικῶν ἀπειράνδρως τεκοῦσαν, Ἀγαθάγγελος Μάρτυς, δικαστικῶν πρὸ βημάτων, ὡμολόγει λαμπρῶς ὁ ἀοίδιμος, τοῦ Σοῦ παναμώμητε Υἱοῦ, τῇ ἰσχύϊ, ῥωννύμενος γενναίως.

*Ἕτερος. Τὸν ἐν ὄρει ἁγίῳ δοξασθέντα.*

Κεφαλῆς τὴν τομὴν γενναίως ὑπομείνας, καὶ ἀφαίρεσιν συνηνώθης Ἀθλοφόρε, τῇ κεφαλῇ Ἀγαθάγγελε τῇ τῆς Ἐκκλησίας, ἥτις ἐστὶ μόνος, Χριστὸς ὁ Ζωοδότης.

Κολακείας καὶ πάσας τὰς θωπείας, τῶν τυράννων αὐτῶν κατήσχυνας παμμάκαρ, ὡς δὲ Κυρίου μιμητὴς πανένδοξε, σιωπῇ μεγίστῃ, ἔδειξας θεόφρον, ψυχῆς σου τὸ ὡραῖον.

Μαγγανείας καὶ πάσας τὰς μαγείας, τῶν ἀνόμων ἔδειξας εἶναι φλυαρίας, τὸν γὰρ χιτῶνα, ὅνπερ κατεμάγευσαν, ᾔσχυνας τὴν πλάνην, ἐνδυθεὶς θεόφρον, δύναμιν τοῦ Χριστοῦ σου.

*Θεοτοκίον.*

Χριστοῦ Μήτηρ καὶ Μήτηρ χριστωνύμων, Σὺ ὑπάρχεις· διό Σε πίστει ἱκετεύω· τὰ κατὰ χάριν τέκνα Σου ἐλέησον, θείαις Σου πρεσβείαις, ταῖς πρὸς τὸν Υἱόν Σου, τὸν κατὰ φύσιν Κόρη.

*ᾨδὴ θ'. Φωτίζου, φωτίζου.*

Ὢ θέας ἀῤῥήτου, καὶ ἀνεκφράστου χαρμονῆς, ἧς μετέχειν ἐνθέως, ἠξιώθης ἔνδοξε, ἐν οὐρανῷ σὺν Ἀγγέλων χοροῖς, καὶ Ἀθλητῶν, Μάρτυς τοῦ Σωτῆρος, πανθαύμαστε Ἀγαθάγγελε.

Ὡς θῦμα προσήχθης, Ὁσιομάρτυς τῷ Χριστῷ, Ὃν ἐπεπόθησας μάκαρ, καὶ Αὐτοῦ τῷ ἔρωτι πυρποληθείς, τὴν ψυχὴν ἱερῶς, τὰ ἀλγεινά, ἤνεγκας προθύμως, τοῦ μαρτυρίου πολύαθλε.

Εὐφραίνου ἀγάλλου, ἡ τοῦ Σωτῆρος νῦν Μονή, Ἐσφιγμένου πλουτοῦσα, λείψανα τὰ πάντιμα, τοῦ Ἀθλητοῦ καὶ ὁπλίτου στεῤῥοῦ, τὴν ἐξ αὐτῶν, χάριν πεμπομένην, κατατρυφῶσα ἀείποτε.

*Θεοτοκίον.*

Ἰσχύς τε καὶ κράτος, ὑπάρχεις Δέσποινα ἁγνή, καὶ ἀνδρεία καὶ ῥώμη, Ἀθλητῶν ἀήττητος, τὸν ἰσχυρόν, τετοκυῖα Θεόν, καὶ τῶν γερῶν, τῶν ἀνεκλαλήτων, καὶ ἀϊδίων ἡ πρόξενος.

*Ἕτερος. Ἐξέστη ἐπὶ τούτῳ.*

Μιμούμενος τρισμάκαρ τὸν Ἰησοῦν, ὡς ἀρνίον προσέδραμες ἄκακον, πρὸς τὴν σφαγήν· ὅθεν ἀπετμήθης ὦ Ἀθλητά, καὶ καθωράθης ὅμοιος, τῇ ἀπονεκρώσει τοῦ Ἰησοῦ· διὸ ὡς κοινωνήσας, παθῶν τοῦ σοῦ Δεσπότου, καὶ κοινωνὸς τῆς δόξης γέγονας.

Ἐκρότησαν Ἀγγέλων αἱ στρατιαί, σὲ ὁρῶσαι, τὸν δρόμον τελέσαντα, καὶ ὁ Χριστός, στέφει τῷ τῆς δόξης περιχαρῶς, κατέστεψε τὴν κάραν σου, τὴν ἡγιασμένην

ὦ Ἀθλητά, ὁμόσκηνε Ὁσίων, σύνοικε τῶν Μαρτύρων, καὶ τῶν πιστῶν στήριγμα ἄσειστον.

Ἠνοίγη σοι ἡ εἴσοδος Ἀθλητά, Παραδείσου στεῤῥὲ Ἀγαθάγγελε, τρύφα λοιπόν, εὐφραίνου καὶ χόρευε νοητῶς, καὶ βλέπε τὸν Σωτῆρά σου, πρόσωπον πρὸς πρόσωπον ἐναργῶς, σὺν πᾶσι τοῖς Ἁγίοις, καὶ μνείαν ἡμῶν ποίει, τῶν σὲ ποθούντων καὶ τιμώντων σε.

*Θεοτοκίον.*

Παρθένε ἐξιλέωσαι τὸν Υἱόν, ἡμῖν πᾶσι πρεσβεύοντα ἔχουσιν ὑπὲρ ἡμῶν, Υἱοῦ καὶ Θεοῦ Σου τὸν Ἀθλητήν, ἔνδοξον Ἀγαθάγγελον, ἵνα ἀξιώσῃ ἐπιτυχεῖν, ἡμᾶς τοῦ Παραδείσου, δοξάζοντας ἀπαύστως, Πατέρα Λόγον Πνεῦμα Ἅγιον.

*Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.*

Περιχαρῶς τὴν μνήμην σου, ἐκ πόθου ἑορτάζοντες, τὰ ἱερά σου λείψανα, ὦ Ἀγαθάγγελε θεῖε, καὶ τὴν σεπτὴν εἰκόνα σου, σχετικῶς ἀσπαζόμεθα· ἀλλ’ οὖν ἡμᾶς περίσωζε, ἀπὸ παντοίας ἀνάγκης, καὶ βλάβης τοῦ ἀλλοτρίου.

*Καὶ τὸ τῆς Ἑορτῆς.*

*Αἶνοι. Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.*

Δεῦτε Ἐσφιγμένου τῆς Μονῆς, πᾶσα ἀδελφότης, καὶ Αἴνου πιστῶν ὁμήγυρις, Σμύρνης τε ὁ σύλλογος, συνεορτάσωμεν, σήμερον καὶ σκιρτήσωμεν, ἐν τῇ θείᾳ μνήμῃ τοῦ Ὁσιομάρτυρος, Ἀγαθαγγέλου σεπτοῦ, τοῦ

ὑπὲρ Χριστοῦ ἠθληκότος, καὶ τῷ διαδήματι δόξης, παρ’ αὐτοῦ λαβόντες ὃν γεραίρομεν.

Ἔστης πρὸ βημάτων ἀνδρικῶς, καὶ δικαστηρίων ὦ Ἀγαθάγγελε, καὶ Χριστὸν ἐκήρυξας, ἐν παῤῥησίᾳ πολλῇ, καὶ τὴν πλάνην τὴν ἄθεον, λόγοις σου πάνσοφε, ἤλεγξας στεῤῥόψυχε, καὶ ἐστηλίτευσας· ὅθεν ἐκτμηθείς σου τὴν κάραν, στέφος ἀμαράντινον θεῖον, ἐκ χειρὸς Κυρίου ἐναπείληφας.

Ὅτε παρεδόθης ἐν χερσί, Μάρτυς ἀσεβῶν ἀτιθάσσων, οἷα θηρῶν πονηρῶν, δέσμιος παρέστηκας, κρίσει ἀνόμων κριτῶν, ἐξομόσαι βιάζοντες, Χριστὸν τὸν Δεσπότην· σὺ δὲ Ἀγαθάγγελε, σοφὲ ἐκραύγαζες· Κτίστην τῶν ἁπάντων γινώσκω, μόνον τὸν Χριστὸν καὶ Θεόν μου, ὑπὲρ οὗ καὶ θνήσκω προθυμότατα.

Αἶνον τῷ Χριστῷ χαρμονικῶς, οἱ ἐν τῇ Μονῇ Ἐσφιγμένου, νῦν ἀναμέλπωμεν, ἐν τῇ θείᾳ μνήμῃ σου ὦ Ἀγαθάγγελε, ὅτι χάριν παρέσχετο, ἰσχύν σοι καὶ σθένος, ἐχθρὸν τὸν ἀρχέκακον, καταβαλεῖν ἀνδρικῶς· ὅθεν τὴν σορὸν τῶν λειψάνων, σοῦ κατασπαζόμενοι πόθῳ, χάριν ἐξ αὐτῶν ἀπαρυόμεθα.

*Δόξα. Ἦχος πλ. α΄.*

Σήμερον ἐξέλαμψε τῇ Ἀναστάσει τοῦ Χριστοῦ, καὶ ἡ πάνσεπτος μνήμη, τοῦ πανενδόξου Ἀθλοφόρου, καὶ στεῤῥοῦ Ὁσιομάρτυρος, θείου Ἀγαθαγγέλου, εὐφραίνουσα τοὺς πιστούς, καὶ μυστικῶς παρέχουσα κατάνυξιν καρδίας. Βλέποντες γὰρ τὸν ἀσσύριον νοῦν, παιζόμενον, νικώμενον, βαλλόμενον, πατούμενον, ὑπὸ ἑνὸς νεανίσκου, ὃν ἐνόμιζον ἔχειν, οἰκεῖον καὶ

αἰχμάλωτον, καὶ χαρᾶς ἀφάτου πληρούμενοι, σὺν δάκρυσι βοῶμεν· δοξάζομέν Σε Κύριε, ὁ δοὺς ἡμῖν δι' αὐτοῦ ἀθάνατον νίκην, δόξα Κύριε τῷ Σταυρῷ Σου, καὶ τῇ Ἀναστάσει Σου.

*Καὶ νῦν. Τῆς Ἑορτῆς.*

*Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.*

*Μεγαλυνάριον.*

Ὕμνοις τοὺς ἀγῶνάς σου Ἀθλητά, εὐφημοῦμεν πάντες, Ἀγαθάγγελε ἱερέ, καὶ τὰ πάντιμά σου, λείψανα προσκυνοῦμεν, καὶ τῆς μορφῆς τὸν τύπον κατασπαζόμεθα.

